# ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΦΑΝΟΥΡΙΟΝ

(Ὑπὸ Ἰσιδώρας Μοναχῆς)

«Μεγάλα τὰ τῆς πίστεως κατορθώματα!».
Οὕτως ἀναφωνοῦμεν μετὰ τοῦ ὑμνῳδοῦ, ἐνοπτριζόμενοι τὰ τῶν Ἁγίων Μαρτύρων ἐν τῷ σταδίῳ σκάμματα!
Τὰς τῆς σαρκὸς αὐτῶν πολυωδύνους ἀλγηδόνας, ἃς ὑπὲρ Χριστοῦ προθύμως ἔφερον, ὅς ἐστὶ τῆς ζωῆς γλυκασμὸς ὁ ἄῤῥητος.
Τὴν ἐν φυλακῇ αὐτῶν καρτερίαν, ὑπὲρ Χριστοῦ, ὅς ἐστὶν ἡ ἐλευθερία ἡμῶν. Γενόμενος γὰρ δοῦλος ὑπὲρ ἡμῶν ἑκουσίως, ἠλευθέρωσεν ἡμᾶς τῆς φυλακῆς τοῦ ἀλλοτρίου, υἱοὺς τῆς Βασιλείας Αὐτοῦ κατὰ χάριν ἀπεργασάμενος.
Τὴν σταθηρὰν αὐτῶν ἐνώπιον τυράννων ὁμολογίαν ὑπὲρ Χριστοῦ, ὅς ἐστὶ Λόγος τοῦ Θεοῦ ὁ ἐνυπόστατος.
Τοὺς ἀνυποίστους ῥαβδισμοὺς καὶ τὰς μαστιγώσεις διὰ Χριστόν, Ὅστις ὑπὲρ ἡμῶν ἑκουσίως ἐμαστιγώθη ὑπὸ χειρῶν δουλικῶν ὧν ἔπλασεν, ὁ τὸ πρότερον τὴν Αἴγυπτον διὰ τὸν λαὸν Αὐτοῦ πληγαῖς μαστίξας.
Τὰς ἐκ καμίνῳ τοῦ πυρὸς αὐτῶν φλογώσεις, διὰ Χριστόν, ὅς ἐστὶν αὐτῶν ἔρως τῶν καρδιῶν ὁ θελκτήριος, πῦρ δὲ καταναλίσκον πᾶν πονηρὸν

ένθύμημα.
Τὰς μετὰ θηρίων αύτῶν άναστροφάς, ἅτινα είς ἡμερότητα μετεποίουν τῷ όνόματι τοῦ Θεοῦ ἡμῶν, ὅς έστι πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ.
Τοὺς πόνους τοὺς έκ τῶν λίθων άλγεινούς, οὓς ὑπέμεινον διὰ Χριστόν, δς έστὶ ὁ λίθος τῆς ζωῆς ὁ άκρογωνιαῖος.
Τοὺς διὰ σιδήρων ξεσμοὺς αύτῶν διὰ Χριστόν, ὅς τῇ χειρὶ αύτοῦ εύσπλάγχνως πάντας ἡμᾶς διέπλασεν.
Τὰς έν μαγγάνῳ αύτῶν όδυνηρὸς κακώσεις διὰ Χριστόν, ὅς έστὶ πηγὴ τῆς άγαθότητος καὶ άριέτυπον τοῦ θείου κάλλους.
Τῶν βασάνων πᾶσαν τὴν πληθύν, ἣν έκαρτέρουν άγαλλομένῃ τῇ ψυχῇ καὶ ῥωμαλέῳ τῷ φρονήματι, τῇ τοῦ Θεοῦ ἡμῶν ίσχύϊ, τοῦ τὰ πάντα πανσθενῶς έν τῇ χειρὶ Αύτοῦ διακρατοῦντος καὶ συνέχοντος.
Αύτόν, τὸν μόνον άληθινὸν Θεὸν ἡμῶν, καὶ ὁ νῦν εύφημούμενος Ἅγιος Μεγαλομάρτυς Αύτοῦ Φανούριος, έπίστευσεν έξ ὅλης καρδίας αύτοῦ. Αύτὸν ἔσπευσεν ὁμολογήσαι εύθαρσῶς έν τῷ σταδίῳ, ὡς μόνον Ποιητὴν καὶ Κύριον τῶν ἁπάντων. Εἶτα δι' Αύτόν, ὃν ἔστεργεν άνυποκρίτως, είς τῶν λίθων άλγεινὴν έπιφορὰν καθυποβάλλεται. Καὶ ὡς ἄλλος Στέφανος, ἡ τῶν Μαρτύρων πύλη, ἄκαμπτός ἔμεινεν καὶ νῦν, Φανούριος ὁ μέγας Χριστομάρτυς.
Ἀκολούθως δὲ προθύμως καὶ τὴν τῶν μαστίγων πεῖραν δέχεται, μηδαμῶς λυγίσας τῷ φρονήματι.
Πρὸς τούτοις δὲ ὄνυξι σιδηραῖς τὰς πλευρὰς ξέεται,

ἀλλ᾽ ὡς χαλκὸς διέμεινεν ὁ ἀοίδιμος.
Εἰς φυλακὴν προσέτι σκοτεινὴν ἐγκλείεται, ἀλλὰ φῶς ὁρῶν τὸ οὐράνιον, καρδίας ὀφθαλμοῖς κεκαθαρμένοις, τὸν Φωτοδότην Κύριον οὐκ ἐπαύσατο ὑμνῶν ὁ μακάριος καὶ τοῦ Φωτὸς ἐπώνυμος οὗτος Φανούριος. Διὸ καὶ φωτισμοῦ τοῦ ἀπροσίτου κοινωνὸς γενόμενος, φωτίζει τοὺς ἡμᾶς αὐτὸν πιστῶς ἀεὶ ἀνευφημοῦντας καὶ ἐπικαλουμένους.
Ἐλλαμφθεὶς δὲ τὴν καρδίαν ὁ γενναῖος τοῦ Χριστοῦ ὁπλίτης, προχωρεῖ ἐστομωμένος εἰς τὰς δεινοτέρας τῶν βασάνων κολάσεις. Ἤτοι εἰς καῦσιν τῶν πλευρῶν αὐτοῦ διὰ λαμπάδων ἀνημμένων εἰς τὴν ἐν σιδηρῷ μαγγάνῳ πρόσδεσιν, ἐξ ἧς ἐξῆλθεν ἀβλαβὴς καὶ νικηφόρος. Εἰς καταπλακῶσιν εἶτα δι᾽ ὀγκώδους λίθου καὶ βαρυτάτου, ὅστις οὐκ ἠδυνήθη αὐτὸν καταβαλεῖν, τὸν πύργον τὸν στεῤῥὸν τῆς πίστεως, Φανούριον τὸν ἀνδρειότατον, τὸν βοῶντα: Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου. Καταγελᾷ διὸ ταῖς θειοτάταις αὐτοῦ νίκαις, τὸν καταγέλαστον ἐχθρὸν ἡμῶν διάβολον, ὡς στρουθίον τοῖς δυνατοῖς αὐτοῦ ποσὶ πατάξας. Καὶ καταφλέγει τοῦτον τὸν παγκάκιστον, εἰς κάμινον ῥιφθεὶς φλογὸς τῆς καιομένης, ἀκατάφλεκτος διαμείνας ὁ θειότατος Φανούριος, τοῦ Πνεύματος ταῖς αὔραις δροσιζόμενος καὶ ὡς οἱ παῖδες πάλαι ἀνεβόα: Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε Αὐτὸν εἰς τοὺς αἰῶνας.
Τοιαῦτα λαμπρὰ τῆς νίκης τρόπαια ἔστησεν

Φανούριος ὁ μέγας Χριστομάρτυς, Σταυροῦ τὴν πανοπλίαν ἐνδυσάμενος καὶ ῥώμην θεϊκὴν διεζωσμένος.
Πλὴν, χρόνοις ἐπὶ πλείοσιν, κρίμασιν οἷς Κύριος ὁ Θεὸς ἡμῶν μόνον γινώσκει, τοῖς πᾶσιν ἄγνωστος διέμεινεν, ὑπὸ τὴν γῆν ὡς ἄλλος θησαυρὸς κρυπτόμενος καὶ ὡσεὶ τίμιος πλοῦτος πεφυλαγμένος.
Ἐσχάτοις δὲ καιροῖς καὶ χρόνοις δυσχειμέροις, ὡς ἔαρ ποθεινὸν ἀνέτειλεν καὶ ὡσεὶ λύχνος φαεινὸς τὸ σκότος διέλυσε τῆς ζοφερᾶς τῶν Ἀγαρηνῶν δουλείας. Πάντας δὲ κατηύγασε τῷ ἱλαρῷ φωτὶ ὁ τούτου ἐπώνυμος τοῦ Χριστοῦ Μεγαλομάρτυς.
Ἐν Ῥόδῳ δέ, τῇ θείᾳ νήσῳ, ὡς ἀχείμαστος λιμὴν προσβάλλεται, ὁ γαληνότατος οὗτος Ἀθλοφόρος τοῦ Χριστοῦ, εἰρήνην παρεχόμενος ταῖς ψυχαῖς τῶν εὐλαβῶς Αὐτὸν τιμώντων, ὡς φίλος τίμιος τοῦ Δεσπότου ἡμῶν, ὃς συμφιλιώσας ἡμᾶς τῷ Πατρί, εἰρήνην δωρεῖται τὴν πάντα νοῦν καὶ διάνοιαν ὑπερέχουσαν.
Καὶ ὡς δένδρον τῆς πίστεως, τὸν γλυκὺν τῶν ἄθλων αὐτοῦ καρπὸν παρέχει, ὡς δὲ ἄνθος τίμιον καὶ ῥόδον εὐῶδες, τὴν ὀσμὴν τῶν ἀρετῶν ἐκβλύζει εἰς ψυχῶν θυμηδίαν καὶ ἀγαλλίασιν.
Ὡς δὲ ἄστρον φαεινόν, λύει τὴν ζοφερὰν τῆς τῶν παθῶν δουλείας σκοτόμαιναν, φῶς αὐγάζον τηλαυγές. Ὡς τοῦ ἀδύτου ἡλίου δὲ ἀκτὶς χρυσαυγεστάτη, καταλάμπει τοὺς πιστῶς αὐτῶν τιμῶντας.

Ηὐλόγηται τὸ πάλαι Ῥόδος ἡ τιμία νῆσος, ὅτε ταῖς χερσὶ τοῦ θείου Ἀρχιερέως Νείλου ἐπεδόθη ἡ πολυτίμητος εἰκών, ἡ ἐπιγράφουσα πολλῇ ἐν εὐκρίνειᾳ τὸ τοῦ Ἁγίου Φανουρίου πολυσεβαστὸν Ὄνομα. Εὐλογεῖται δὲ καὶ πᾶς πιστὸς ὁ ἐπιφωνῶν τὸ ὄνομα τοῦτο καὶ αἰτούμενος τὴν τοῦ Ἁγίου ἐπιστασίαν.
Θαυμάτων πλείστων ταῖς ῥοαῖς κατήρδευται ἡ ξηρανθεῖσα τῇ σκληρα δουλείᾳ γῆ τῆς νήσου Ῥόδου, τῇ ἱερᾷ τοῦ Χριστομάρτυρος Φανουρίου Εἰκόνος εὑρέσει. Ἀρδεύεται καὶ πᾶσα καρδία τῶν πιστῶν, ἡ εὐλαβῶς αὐτὴν τιμῶσα καὶ ἀσπαζομένη, ἥτις ὡς ἄλλη γῆ καλῇ καὶ ἀγαθή, καρπὸν πολυπλάσιον τῶν θείων δωρεῶν κομίζει.
Ἠλευθερώθησαν τὸ πάλαι οἱ θεῖοι ἱερεῖς ἐκ τῶν πικρῶν δεσμῶν τῆς τῶν Ἀγαρηνῶν δουλείας, τῇ τοῦ Ἁγίου Μεγαλομάρτυρος Φανουρίου θαυμαστῇ καὶ φρικτῇ ἐπιστασίᾳ. Ἐλευθεροῦται δὲ πᾶσα ψυχή, ἡ τὸν Ἅγιον τοῦτον Μεγαλομάρτυρα Φανούριον πιστῶς ἐπικαλουμένη, ἐκ τῶν πικρῶν δεσμῶν τῆς τῶν παθῶν δουλείας.
Πιστὸς ὁ Θεὸς ἡμῶν καὶ ἀγαθὸς καὶ ἄψευστος ἐπὶ πᾶσιν, οἷς ὑπέσχετο ἡμῖν. Οὗτος ἐστὶν ὁ εἰπών· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· κρούετε καὶ ἀνοιγήσετε ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε. Οὗτος ἐστὶν ὁ ἐν τοῖς ἁγίοις Αὐτοῦ ἐνδοξαζόμενος καὶ ἐπαναπαυόμενος καὶ δι᾽ αὐτῶν ἐνεργῶν ἡμῖν τὰ θαυμαστὰ καὶ ἐξαίσια. Ὁ ποιῶν ἀεὶ κατὰ τὸ συμφέρον ἡμῖν. Ὁ τὴν χάριν τῶν

θαυμάτων καὶ τὴν δωρεὰν τῶν ἰαμάτων δοὺς τοῖς Αὐτῷ εὐηρεστηκόσιν Ἁγίοις πάντοτε.
Οἷ ἐν ἀνάγκαις ὄντες τούτου τὴν χάριν ἐπικαλεσώμεθα, ταῖς πρεσβείαις τῶν αὐτοῦ Ἁγίων. Οἷ τοῦ Ἁγίου τούτου Μεγαλομάρτυρος Φανουρίου τὴν μνήμην ἱερῶς τιμῶντες ἐν ᾄσμασί τε καὶ ᾠδαῖς καὶ ἐγκωμίοις, αὐτὸν προβαλώμεθα πρὸς Θεὸν ὡς πρέσβυν εὐπρόσδεκτον καὶ μεσίτιν ἀκαταίσχυντον. Αὐτὸν ἐπικαλεσώμεθα, οὐ μόνον ἵνα εὕρωμεν τὰ πρὸς στιγμὴν κεκρυμένα ἢ τὰ δι᾽ ὀλίγον ἀπωλεσθέντα. Ἀλλὰ πολλῷ μᾶλλον ἵνα εὕρωμεν ὁδὸν σωτηρίας, ἵνα ἀποκαλύψῃ ἡμῖν τρόπους μετανοίας, ἵνα φανέρωσῃ ἡμῖν τὰ τῷ Θεῷ ἀρεστὰ καὶ τέλεια, ὅπως αὐτὰ ἐργαζώμενοι, τὸ τῆς ψυχῆς ἡμῶν ἀρχαῖον κάλλος ἐπανεύρωμεν, ὁ τῇ ἀμελεῖα ἀπωλέσαμεν καὶ τῇ ῥᾳθυμία κακῶς κατεχράναμεν ἵνα δείξῃ ἡμῖν τὴν τῶν θείων θελημάτων εὐθυτάτην τρίβον, ὅπως ἐν αὐτῇ βαδίζοντες ἐπενδυθῶμεν καὶ πάλιν τὸν τῆς χάριτος χιτῶνα καὶ τὴν ἄφθαρτον στολὴν τῆς προτέρας δόξης, ἣν τῇ ἀρχαίᾳ παρακοῇ ἐξεδύθημεν καὶ τῆς λαμπρότητος ἐκείνης ἐγυμνώθημεν.Πᾶσιν ἡμῖν, ὁ μέγας Φανούριος, φῶς παρέχει τὸ γλυκύτατον, τὴν κλῆσιν τῷ ὄντι ἐπαληθεύων. Πᾶσιν ἡμῖν θαυμάτων προχέει ποταμούς, τὸ ὄνομα τοῖς ἔργοις ἐπισφραγίζων. Πᾶσιν ἡμῖν τὰ τῆς πίστεως μεγάλα κατορθώματα ἀστράπτει, τὴν τοῦ Θεοῦ δύναμιν ἐνδόξως καὶ θαυμαστῶς πιστοποιῶν τοῖς ἔθνεσιν. Πᾶσιν ἡμῖν τὸν θησαυρὸν τὸν μέγαν καὶ ἀσύληπτον ἐν

οὐρανοῖς διαγγέλεται καὶ φανεροῖ ἐν κατορθώμασιν μεγάλοις. Καὶ πάντας προσκαλεῖ εἰς ἑστίασιν πνευματικήν, τοὺς θείους αὐτοῦ ἄθλους προτιθέμενος εἰς εὐωχίαν τὰς ἀριστείας αὐτοῦ παρέχων εἰς ψυχικὴν χαρὰν καὶ ἀγαλλίασιν αἰώνιον. Ἵνα τούτους τιμῶντες ἐν πίστει καὶ τὸν Ἅγιον Μεγαλομάρτυρα Φανούριον τὸν θαυματουργὸν μεγαλύνοντες ἐκ πόθου, τῷ ἐν Τριάδι μόνῳ Θεῷ ἡμῶν δῶμεν πάντες δόξαν καὶ μεγαλοπρέπειαν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν